ματιῶν καὶ βαρείας πτώσεως· καὶ οὐκ ἦν πέρας τοῖς ἔθνεσιν αὐ-
4 τῆς, καὶ ἀσθενήσουσιν ἐν τοῖς σώμασιν αὐτῶν [4] ἀπὸ πλήθους πορ-
νείας. πόρνη καλὴ καὶ ἐπιχαρὴς ἡγουμένη φαρμάκων ἡ πωλοῦσα
ἔθνη ἐν τῇ πορνείᾳ αὐτῆς καὶ φυλὰς ἐν τοῖς φαρμάκοις αὐτῆς,
5 [5] ἰδοὺ ἐγὼ ἐπὶ σέ, λέγει κύριος ὁ θεὸς ὁ παντοκράτωρ, καὶ ἀποκα-
λύψω τὰ ὀπίσω σου ἐπὶ τὸ πρόσωπόν σου καὶ δείξω ἔθνεσιν τὴν
6 αἰσχύνην σου καὶ βασιλείαις τὴν ἀτιμίαν σου [6] καὶ ἐπιρρίψω ἐπὶ
σὲ βδελυγμὸν κατὰ τὰς ἀκαθαρσίας σου καὶ θήσομαί σε εἰς παρά-
7 δειγμα, [7] καὶ ἔσται πᾶς ὁ ὁρῶν σε ἀποπηδήσεται ἀπὸ σοῦ καὶ ἐρεῖ
Δειλαία Νινευη· τίς στενάξει αὐτήν; πόθεν ζητήσω παράκλησιν
8 αὐτῇ; [8] ἑτοίμασαι μερίδα, ἅρμοσαι χορδήν, ἑτοίμασαι μερίδα, Αμων
ἡ κατοικοῦσα ἐν ποταμοῖς, ὕδωρ κύκλῳ αὐτῆς, ἧς ἡ ἀρχὴ θάλασσα
9 καὶ ὕδωρ τὰ τείχη αὐτῆς, [9] καὶ Αἰθιοπία ἡ ἰσχὺς αὐτῆς καὶ Αἴγυ-
πτος, καὶ οὐκ ἔστιν πέρας τῆς φυγῆς, καὶ Λίβυες ἐγένοντο βοηθοὶ
10 αὐτῆς. [10] καὶ αὐτὴ εἰς μετοικεσίαν πορεύσεται αἰχμάλωτος, καὶ τὰ
νήπια αὐτῆς ἐδαφιοῦσιν ἐπ᾽ ἀρχὰς πασῶν τῶν ὁδῶν αὐτῆς, καὶ
ἐπὶ πάντα τὰ ἔνδοξα αὐτῆς βαλοῦσιν κλήρους, καὶ πάντες οἱ μεγι-
11 στᾶνες αὐτῆς δεθήσονται χειροπέδαις. [11] καὶ σὺ μεθυσθήσῃ καὶ ἔσῃ
12 ὑπερεωραμένη, καὶ σὺ ζητήσεις σεαυτῇ στάσιν ἐξ ἐχθρῶν. [12] πάντα
τὰ ὀχυρώματά σου συκαῖ σκοποὺς ἔχουσαι· ἐὰν σαλευθῶσιν, καὶ
13 πεσοῦνται εἰς στόμα ἔσθοντος. [13] ἰδοὺ ὁ λαός σου ὡς γυναῖκες ἐν
σοί· τοῖς ἐχθροῖς σου ἀνοιγόμεναι ἀνοιχθήσονται πύλαι τῆς γῆς
14 σου, καὶ καταφάγεται πῦρ τοὺς μοχλούς σου. [14] ὕδωρ περιοχῆς
ἐπίσπασαι σεαυτῇ καὶ κατακράτησον τῶν ὀχυρωμάτων σου, ἔμβηθι
εἰς πηλὸν καὶ συμπατήθητι ἐν ἀχύροις, κατακράτησον ὑπὲρ πλίν-
15 θον· [15] ἐκεῖ καταφάγεταί σε πῦρ, ἐξολεθρεύσει σε ῥομφαία, κατα-
16 φάγεταί σε ὡς ἀκρίς, καὶ βαρυνθήσῃ ὡς βροῦχος. [16] ἐπλήθυνας τὰς
ἐμπορίας σου ὑπὲρ τὰ ἄστρα τοῦ οὐρανοῦ· βροῦχος ὥρμησεν καὶ
17 ἐξεπετάσθη. [17] ἐξήλατο ὡς ἀττέλεβος ὁ σύμμικτός σου, ὡς ἀκρὶς

4 επιχαρης] -ρις QB$^{c}$*LC* | φυλας] λαους BS*† || 5 ο θεος ο] > *C*, ο 2$^{0}$ > S$^{c}$†: cf. Am. 9 6; ο θεος in Sy sub ÷ cum nota marginali „hic obelus non positus erat in Hexaplis“ | το > AQ | αισχυνην] ασχημοσυνην A || 6 ακαθαρσ.] αμαρτιας S*† || 7 αποπηδησε⟨ται⟩ W† (cf. Os. 7 13)] καταβησεται rel. | αυτην] απο σου A† | παρακλησ⟨ε⟩ις A† || 8 ετοιμ. μεριδα 1$^{0}$ > S$^{c}$ *LC* | ετοιμ. 2$^{0}$ > S$^{c}$*C* | μεριδα 2$^{0}$] μερις S$^{c}$*LC* | αμων unus cod.] αρμων S*†, αμμων rel. | ης] ως S*† | αρχη] + αυτης AW$^{c}$† || 9 και 1$^{0}$ > S$^{c}$*LC* = 𝔐 | η AQS$^{c}$W*L*] > BS**C* | εσται A | της φυγης BS*W† (cf. 𝔐)] + σου rel. || 10 τα νηπια] pr. πανηγυρια S*† | αρχης S$^{c}$*C*, αρχαις *L*† | οδων] ορεων S*† | αυτης ult. > S*† || 11 και 1$^{0}$] + γε AQ | παρεωραμενη S$^{c}$*LC* | εξ > S*† || 12 συκαι] pr. ως W*L* | σκοπους] καρπους B$^{c}$† | και > BS*C* || 13 και AW*L*] > BSQ*C* || 14 επισπ. σεαυτη > S*† | και 1$^{0}$ BS**L*] > AQS$^{c}$*C* | πηλον] πολεμον S*† | συμπατηθητι] -πατει A || 15 ρομφαια] pr. εν W*C*† | καταφαγ. 2$^{0}$ BS*QW] pr. και AS$^{c}$*L* | βαρυνθησει BV† || 16 init. — βρουχος > S*† | υπερ] ωσπερ S$^{c}$*C*†, ωσει V || 17 αττελαβος AQ*C*